ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές.
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε
τῶν ἀγαθῶν ⟨
. . . . . . . . . . .
⟩βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τῶι σὺ πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε· δίδου δ' αἰῶνα καλῶν ἐπιήρανε ἔργων
πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν. ⊗

**27** Ath. 463a

χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε·
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· †ὁ δὲ χρυσὸς
οἶνον ἔχων χειρῶν νιζέτω εἰς ἔδαφος.†
σπένδοντες δ' ἁγνῶς Ἡρακλεῖ τ' Ἀλκμήνηι τε,
Προκλεῖ Περσείδαις τ' ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν· ἴτω διὰ νυκτὸς ἀοιδή,
ὀρχείσθω τις· ἑκὼν δ' ἄρχε φιλοφροσύνης.
ὅντινα δ' εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

2-3 Id. 496c.

**28** Ath. (epit.) 68b

αὐτὰρ ὅ γ' ἐμμαπέως τὸν ὀρίγανον ἐν χερὶ κεύθει.

**29** Plut. *Thes.* 20. 2 ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην,